καὶ ἀναγκαῖος, μόνον οὐ πυρώσας καὶ στήσας καὶ σχεδὸν ἐγγυητὴν λαβὼν χρῆσαι. καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν ἀλλ' ἔμπροσθεν, ἵνα φυλάττῃ αὐτόν, μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ. καὶ τοῖς εἰληφόσι. τι παρ' αὐτοῦ καὶ λέγουσι· 'πόσου, κατάθου· οὐ γὰρ σχολάζω πω, πέμπειν'· ,,μηδὲν πραγματεύου· ἐγὼ γάρ, ἂν σὺ σχολάσῃς, συνακολουθήσω." KB (IH)

## ΜΙΚΡΟΛΟΓΙΑΣ

Ἔστι δὲ ἡ μικρολογία φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν, ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν ἐπὶ τὴν οἰκίαν. καὶ ὁμοσιτῶν ἀριθμεῖν τε κύλικας, πόσας ἕκαστος πέπωκε, καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκων εἶναι. καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων. καὶ τῆς γυναικὸς ἐκβαλούσης τρίχαλκον οἷος μεταφέρειν τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτοὺς καὶ διφᾶν τὰ καλύμματα. καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. καὶ οὐκ ἂν ἐᾶσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὐτοῦ κήπου οὔτε διὰ τοῦ αὐτοῦ ἀγροῦ πορευθῆναι οὔτε ἐλαίαν ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. καὶ τοὺς ὅρους δ' ἐπισκοπεῖσθαι ὁσημέραι εἰ διαμένουσιν οἱ αὐτοί. δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι καὶ τόκον τόκου. καὶ ἑστιῶν δημότας μικρὰ τὰ κρέα κόψας παραθεῖναι. καὶ ὀψωνῶν μηδὲν πριά-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416470955/32 UNIVERSITÄT LEIPZIG